ταὶ αὐτοῦ ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό·
καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ. καὶ ἀκού-
σας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ
εἰς ἔρημον τόπον κατ' ἰδίαν. καὶ ἀκούσαντες
οἱ ὄχλοι ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν πό-
λεων. καὶ ἐξελθὼν ὁ Ἰησοῦς εἶδε πολὺν ὄχλον,
καὶ ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς, καὶ ἐθεράπευ-
σε τοὺς ἀρρώστους αὐτῶν. Ὀψίας δὲ γενο-
μένης, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, λέ-
γοντες, ἔρημός ἐστιν ὁ τόπος, καὶ ἡ ὥρα ἤδη πα-
ρῆλθεν· ἀπόλυσον τοὺς ὄχλους, ἵνα ἀπελθόν-
τες εἰς τὰς κώμας ἀγοράσωσιν ἑαυτοῖς βρώ-
ματα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, οὐ χρείαν ἔ-
χουσιν ἀπελθεῖν· δότε αὐτοῖς ὑμεῖς φαγεῖν.
οἱ δὲ λέγουσιν αὐτῷ, οὐκ ἔχομεν ὧδε εἰ μὴ πέν-
τε ἄρτους, καὶ δύο ἰχθύας. ὁ δὲ εἶπε, φέρετέ μοι
αὐτοὺς ὧδε. καὶ κελεύσας τοὺς ὄχλους ἀνακλι-
θῆναι ἐπὶ τοὺς χόρτους, λαβὼν τοὺς πέντε
ἄρτους, καὶ τοὺς δύο ἰχθύας, ἀναβλέψας εἰς
τὸν οὐρανὸν, εὐλόγησε, καὶ κλάσας ἔδωκε
τοῖς μαθηταῖς τοὺς ἄρτους· οἱ δὲ μαθηταὶ
τοῖς ὄχλοις. καὶ ἔφαγον πάντες, καὶ ἐχορτά-
σθησαν, καὶ ἦραν τὸ περισσεῦον τῶν κλασμά-
των, δώδεκα κοφίνους πλήρεις. οἱ δὲ ἐσθίον-
τες ἦσαν ἄνδρες ὡσεὶ πεντακισχίλιοι, χω-

τούς. γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν
ἀπεστάλη τὸ σωτήριον τοῦ θεοῦ, αὐτοὶ καὶ ἀκού-
σονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος ἀπῆλθον οἱ
ἰουδαῖοι πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτη-
σιν. ἔμεινε δὲ ὁ παῦλος διετίαν ὅλην ἐν ἰδίῳ
μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσ-
πορευομένους πρὸς αὐτὸν, κηρύσσων τὴν βα-
σιλείαν τοῦ θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ
κυρίου ἰησοῦ χριστοῦ μετὰ πάσης παῤῥησίας
ἀκωλύτως.

## ΤΕΛΟΣ.

# ΑΙ ΤΟΥ ΑΓΙΟΥ ΠΑΥΛΟΥ ΕΠΙΣΤΟΛΑΙ.

Αἱ καθολικαὶ ἐπιστολαί.
Ἀποκάλυψις τοῦ ἁγίου Ἰωάννου τοῦ θεολόγου.

Κράτος θανάτου καὶ ζωῆς.




*Imperium mortis & vitæ.*

# ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟ-
λου ἡ πρὸς ῥωμαίους ἐπιστολή.

ΠΑΥΛΟΣ δοῦλος ἰησοῦ χριστοῦ,
κλητὸς ἀπόστολος, ἀφωρισμένος
εἰς εὐαγγέλιον θεοῦ, ὃ προεπηγ-
γείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν γρα-
φαῖς ἁγίαις, περὶ τοῦ υἱοῦ αὐτοῦ, τοῦ γενομένου
ἐκ σπέρματος δαβὶδ κατὰ σάρκα, τοῦ ὁρι-
σθέντος υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα
ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, ἰησοῦ χρι-
στοῦ τοῦ κῦ ἡμῶν, δι᾽ οὗ ἐλάβομεν χάριν καὶ
ἀποστολὴν εἰς ὑπακοὴν πίστεως ἐν πᾶσι τοῖς
ἔθνεσιν, ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ, ἐν οἷς ἐστε καὶ
ὑμεῖς, κλητοὶ ἰησοῦ χριστοῦ, πᾶσι τοῖς οὖσιν ἐν
ῥώμῃ, ἀγαπητοῖς θεοῦ, κλητοῖς ἁγίοις, χά-
ρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν,
καὶ κυρίου ἰησοῦ χριστοῦ. πρῶτον μὲν εὐχα-
ριστῶ τῷ θεῷ μου διὰ ἰησοῦ χῦ, ὑπὲρ πάν-
των ὑμῶν, ὅτι ἡ πίστις ὑμῶν καταγγέλλεται

βασιλεῖς τῆς γῆς καὶ τῆς οἰκουμένης ὅλης, συν-
αγαγεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας ἐκεί-
νης τῆς μεγάλης τοῦ θεοῦ τοῦ παντοκράτο-
ρος. ἰδοὺ ἔρχομαι ὡς κλέπτης. μακάριος ὁ
γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ
γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημο-
σύνην αὐτοῦ. καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τό-
πον τὸν καλούμενον ἑβραϊστὶ ἀρμαγεδδών. καὶ
ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐ-
τοῦ εἰς τὸν ἀέρα. καὶ ἐξῆλθε φωνὴ μεγάλη
ἀπὸ τοῦ ναοῦ, τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου, λέ
γουσα, γέγονε. καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ
καὶ ἀστραπαὶ, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος
οὐκ ἐγένετο ἀφ᾽ οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ
τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας. καὶ
ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ
αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον, καὶ βαβυλὼν ἡ
μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ θεοῦ, δοῦναι αὐ-
τῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς
αὐτοῦ. καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑ-
ρέθησαν, καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία
καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώ-
πους, καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν θεὸν
ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη ἐ-
στὶν ἡ πληγὴ αὐτῆς σφόδρα.